Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: nbq-aa

*Ἀνδρόνικος ὁ Ῥόδιος* · Andronicus of Rhodes

# On Passions, Book 1

*Περὶ παθῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Peripatetic

1.1 ΑΝΔΡΟΝΙΚΟΥ ΠΕΡΙΠΑΤΗΤΙΚΟΥ ΠΕΡΙ ΠΑΘΩΝ PARS PRIOR DE AFFECTIBVS .

1.1 Πάθος ἐστὶν ἄλογος ψυχῆς κίνησις [δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ] καὶ παρὰ φύσιν ἢ ὁρμὴ πλεονάζουσα. [ἢ πάθος ἐστὶ ψυχῆς κίνησις χωρὶς λογισμοῦ τε καὶ κρίσεως ἐπιτελουμένη. ἢ πάθος ἐστὶν ἐπίκαιρος ψυχῆς ὄρεξις εἰς ποιὰν διάνοιαν ἔξωθεν ἐπιθυμίαν λαμβάνουσα οἷον λύπη, ἡδονή, φόβος, ἐπιθυμία, καὶ καθόλου, ὡς αὐτὸ τὸ ὄνομα δηλοῖ, ὅσα πάσχομεν κατὰ τὴν ἔξωθεν ἐπισύμπτωσιν τῶν πραγμάτων. τὸ γὰρ κυρίως πάθος ἔξωθεν πᾶν καὶ ἐν μεταβολῇ ὑπό τινος ἄλλου κινοῦντος.] τὰ δὲ γενικώτερα πάθη τέσσαρα· λύπη, φόβος, ἐπιθυμία, ἡδονή.

1.1 α' Λύπη μὲν οὖν ἐστιν ἄλογος συστολή· ἢ δόξα πρόσφατος κακοῦ παρουσίας, ἐφ' ᾧ οἴονται δεῖν συστέλλεσθαι. β' Φόβος δὲ ἄλογος ἔκκλισις· ἢ φυγὴ ἀπὸ προσδοκωμένου δεινοῦ. γ' Ἐπιθυμία δὲ ἄλογος ὄρεξις· ἢ δίωξις προσδοκωμένου ἀγαθοῦ. δ' Ἡδονὴ δὲ ἄλογος ἔπαρσις· ἢ δόξα πρόσφατος ἀγαθοῦ πα ρουσίας, ἐφ' ᾧ οἴονται δεῖν ἐπαίρεσθαι.

2.t εἴδη λύπης κε'.

2.1 Ἔλεος· φθόνος· ζῆλος· ζηλοτυπία· δυσθυμία· συμφορά· ἄχθος· ἄχος· σφακελισμός· πένθος· δυσχέρανσις· ὄχλησις· ὀδύνη· ἀνία· μεταμέλεια· σύγχυσις· ἀθυμία· ἄση· νέμεσις· δυσφορία· γόος· βαρυθυμία· κλαῦσις· φροντίς· οἶκτος.

2.1 α' Ἔλεος μὲν οὖν ἐστι λύπη ἐπ' ἀλλοτρίοις κακοῖς ἀναξίως πά σχοντος ἐκείνου. β' Φθόνος δὲ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἢ λύπη ἐπὶ τῇ τῶν ἐπιεικῶν εὐπραγίᾳ. γ' Ζῆλος δὲ λύπη ἐπὶ τῷ ἕτερον τυγχάνειν, ὧν αὐτὸς ἐπιθυμεῖ.

2.1 ἢ λύπη ἐπὶ τῷ ἄλλοις ὑπάρχειν, ἡμῖν δὲ μή· ἢ ζῆλος μακαρισμὸς ἀστειότητος [·ἢ ζῆλός ἐστι ψυχῆς λογικῆς θερμότης ἐπ' ἀγαθῷ καὶ κακῷ μετὰ παραδείγματος ἐξαπτομένη]. δ' Ζηλοτυπία δὲ λύπη ἐπὶ τῷ ἄλλοις ὑπάρχειν. ἃ καὶ ἡμῖν ὑπάρχει.

2.1 ε' Δυσθυμία δὲ λύπη ἐπ' ἀλύτῳ ἢ δυσκινήτῳ. ς' Συμφορὰ δὲ λύπη ἐπὶ συμπεφραγμένοις κακοῖς. ζ' Ἄχθος δὲ λύπη βαρύνουσα. η' Ἄχος δὲ λύπη ἀφωνίαν ἐμποιοῦσα. θ' Σφακελισμὸς δὲ λύπη σφοδρά.

2.1 ι' Πένθος δὲ λύπη ἐπὶ ἀώρῳ τελευτῇ. ια' Δυσχέρανσις δὲ λύπη ἐξ ἐναντίων λογισμῶν. ιβ' Ὄχλησις δὲ λύπη στενοχωροῦσα ἢ ἀναστροφὴν οὐ διδοῦσα. ιγ' Ὀδύνη δὲ λύπη εἰσδύνουσα καὶ ὀξεῖα. ιδ' Ἀνία δὲ λύπη ἐξ ἀναλογισμῶν.

2.1 ιε′ Μεταμέλεια δὲ λύπη ἐπὶ ἁμαρτήμασι πεπραγμένοις ὡς δι’ αὑτοῦ γεγονόσιν. ις′ Σύγχυσις δὲ λύπη κωλύουσα διορᾶν τὸ μέλλον.

2.1 ιζ′ Ἀθυμία δὲ λύπη ἀπελπίζοντος ὧν ἐπιθυμεῖ τυχεῖν. ιη′ Ἄση δὲ λύπη μετὰ ῥιπτασμοῦ.

2.1 ιθ′ Νέμεσις δὲ λύπη ἐπὶ ἐπαιρομένοις παρὰ τὸ προσῆκον. κ′ Δυσφορία δὲ λύπη μετ’ ἀπορίας τοῦ πῶς χρήσεται τοῖς παροῦσιν. κα′ Γόος δὲ θρῆνος ἀγομένου κατὰ λύπην. 〈κβ′〉 Βαρυθυμία δὲ λύπη βαρύνουσα καὶ ἀνάνευσιν οὐ διδοῦσα.

2.1 κγ′ Κλαῦσις δὲ δάκρυσις λυπουμένου νεύοντος ἐπὶ τὸ χεῖρον. κδ′ Φροντὶς δὲ λογισμὸς λυπουμένου. κε′ Οἶκτος δὲ λύπη ἐπ’ ἀλλοτρίοις κακοῖς.

3.t Φόβου εἴδη ιγ′.

3.1 Ὄκνος· αἰσχύνη· δεῖμα· δέος· ἔκπληξις· κατάπληξις· [δειλία·] ψοφοδέεια· ἀγωνία· μέλλησις· ὀῤῥωδία· θόρυβος· δεισιδαιμονία. α′ Ὄκνος μὲν οὖν ἐστι φόβος μελλούσης ἐνεργείας. β′ Αἰσχύνη δὲ φόβος ἀδοξίας.

3.1 γ′ Δεῖμα δὲ φόβος ὑφορωμένου. δ′ Δέος δὲ φόβος συνδέων. ε′ Ἔκπληξις δὲ φόβος ἕνεκα ἀσυνήθους φαντασίας δεινοῦ. ς′ Κατάπληξις δὲ φόβος ἐκ μείζονος φαντασίας. [ζ′ Δειλία δὲ ἀποχώρησις ἀπὸ φαινομένου καθήκοντος διὰ φαν τασίαν δεινοῦ.] η′ Ψοφοδέεια δὲ φόβος κενός. θ′ Ἀγωνία δὲ φόβος διαπτώσεως· ἢ φόβος ἥττης· ἢ φόβος ἐμποιητικὸς τῶν ἐναντίων ἐλπίδων, περὶ ὧν ὄρεξιν σφοδρὰν ἔχομεν. ι′ Μέλλησις δὲ ὄκνος διεγνωκότος ποιεῖν.

3.1 ια′ Ὀῤῥωδία δὲ φόβος ἐννοηθέντος. ιβ′ Θόρυβος δὲ φόβος μετὰ φωνῆς κατεπείγων. ιγ′ Δεισιδαιμονία δὲ φόβος τοῦ δαιμονίου· ἢ ὑπερέκπτωσις τῆς πρὸς θεοὺς τιμῆς.

4.t Ἐπιθυμίας εἴδη κζ′.

4.1 Ὀργή· θυμός· χόλος· πικρία· μῆνις· κότος· ἔρως· ἵμερος· πόθος· δυσμένεια· δύσνοια· ἁψικορία· ῥιψοφθαλμία· σπάνις· τραχυτής· ἔρις· προσπάθεια· φιληδονία· φιλοχρηματία· γαστριμαργία· οἰνοφλυγία· λαγνεία.

4.1 α′ Ὀργὴ μὲν οὖν ἐστιν ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος· [ἢ λύπη μεθ’ ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι]. β′ Θυμὸς δὲ ὀργὴ ἐναρχομένη. γ′ Χόλος δὲ ὀργὴ διοιδοῦσα. δ′ Πικρία δὲ ὀργὴ παραχρῆμα ἐκρηγνυμένη.

4.1 ε′ Μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. ς′ Κότος δὲ ὀργὴ καιρὸν ἐπιτηροῦσα εἰς τιμωρίαν. ζ′ Ἔρως δὲ ἐπιθυμία σωματικῆς συνουσίας. η′ ἄλλος ἔρω ς· ἐπιθυμία φιλίας. θ′ ἄλλος ἔρω ς· ὑπηρεσία θεῶν εἰς νέων κατακόσμησιν καὶ καλῶν, ὃν ἐπιβολὴν καλοῦσι φιλοποιΐας διὰ κάλλος ἐμφαινόμενον. ι′ Ἵμερος δὲ ἐπιθυμία φίλου ἀπόντος ὁμιλίας. ια′ Πόθος δὲ ἐπιθυμία κατὰ ἔρωτα ἀπόντος. ιβ′ Δυσμένεια δὲ δύσνοια ἐπιτηρητικὴ καὶ κακοποιός. ιγ′ Δύσνοια δὲ ἐπιθυμία τοῦ κακῶς εἶναί τινι αὐτοῦ ἕνεκεν ἐκείνου. ιδ′ Ἁψικορία δὲ ἐπιθυμία ταχὺ ἐμπιπλαμένη. ιε′ Ῥιψοφθαλμία δὲ ταχυτὴς περὶ τὸ ἰδεῖν τὸ ποθούμενον· [ἢ ὀξυδορκία περὶ τὸ αὐτό]. ις′ Σπάνις δὲ ἐπιθυμία ἀτελής.

4.1 ιζ′ Τραχυτὴς δὲ ἐπιθυμία ἀνώμαλος. ιη′ Ἔρις δὲ παρόρμησις εἰς ἀντίταξιν κακοποιητικήν. ιθ′ Προσπάθεια δὲ ἐπιθυμία δεδουλωμένη. κ′ Φιληδονία δὲ ἐπιθυμία ἡδονῶν. κα′ Φιλοχρηματία δὲ ἐπιθυμία [ἄχρηστος ἢ] ἄμετρος χρημάτων.

4.1 κβ′ Φιλοτιμία δὲ ἐπιθυμία ἄμετρος τιμῆς. κγ′ Φιλοζωΐα δὲ ἐπιθυμία ζωῆς ἄλογος. κδ′ Φιλοσωματία δὲ ἐπιθυμία σώματος εὐθηνίας παρὰ τὸ δέον. κε′ Γαστριμαργία δὲ ἐπιθυμία ἄμετρος σιτίων. κς′ Οἰνοφλυγία δὲ ἐπιθυμία οἴνου ἄπληστος.

4.1 κζ′ Λαγνεία δὲ ἐπιθυμία συνουσιῶν ἄμετρος.

5.t Ἡδονῆς εἴδη ε′.

5.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀσμενισμός· τέρψις· κήλησις· ἐπιχαιρεκακία· γοητεία. α′ Ἀσμενισμὸς μὲν οὖν ἐστιν ἡδονὴ ἐπὶ ἀπροσδοκήτοις ἀγαθοῖς. β′ Τέρψις δὲ ἡδονὴ δι᾽ ὄψεως ἢ δι᾽ ἀκοῆς. γ′ Κήλησις δὲ ἡδονὴ δι᾽ ἀκοῆς κατακηλοῦσα· ἢ ἡδονὴ ἐκ λόγου τε καὶ μουσικῆς ἢ δι᾽ ἀπάτης γινομένη. δ′ Ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπὶ τοῖς τῶν πέλας ἀτυχήμασιν. 〈ε′〉 Γοητεία δὲ ἡδονὴ κατὰ ἀπάτην ἢ διὰ μαγείας.

6.t Εὐπαθείας εἴδη γ′.

6.1 Βούλησις· χαρά· εὐλάβεια. [εὐπείθεια]. α′ Βούλησις μὲν οὖν ἐστιν εὔλογος ὄρεξις. β′ Χαρὰ δὲ εὔλογος ἔπαρσις. γ′ Εὐλάβεια δὲ εὔλογος ἔκκλισις· [ἢ φυλακὴ κακοῦ· ἢ ἐπι μέλεια φυλακῆς]. [δ′ Εὐπείθεια δὲ ἕξις κάτω κατεσταλμένας τὰς κόρας ἔχουσα].

6.2.(t) Βουλήσεως εἴδη δ′.

6.2.(t) Εὔνοια· εὐμένεια· ἀσπασμός· 〈ἀγάπησις.〉 α′ Εὔνοια μὲν οὖν ἐστι βούλησις ἀγαθῶν 〈ἑτέρῳ〉 αὐτοῦ ἕνεκεν ἐκείνου. β′ Εὐμένεια δὲ εὔνοια ἐπίμονος.

6.2.(t) γ′ Ἀσπασμὸς δὲ ἀδιάστατος .... 〈δ′〉 Ἀγάπησις ......

6.3.(t) Χαρᾶς εἴδη γ′.

6.3.(t) Τέρψις· εὐφροσύνη· εὐθυμία. α′ Τέρψις μὲν οὖν ἐστι χαρὰ πρέπουσα ταῖς περὶ αὐτὸν ὠφελείαις. β′ Εὐφροσύνη δὲ χαρὰ ἐπὶ τοῖς τοῦ σώφρονος ἔργοις. 〈γ′〉 Εὐθυμία δὲ χαρὰ ἐπὶ διαγωγῇ ἢ ἀνεπιζητησίᾳ παντός.

6.4.(t) Εὐλαβείας εἴδη β′.

6.4.(t) Αἰδώς· ἁγνεία. α′ Αἰδὼς μὲν οὖν ἐστιν εὐλάβεια ὀρθοῦ ψόγου.

6.4.(t) β′ Ἁγνεία δὲ εὐλάβεια τῶν περὶ θεοὺς ἁμαρτημάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org